www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΗΓΥΡΙΚΗ
# ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ
# ΟΝΟΥΦΡΙΟΥ
# ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ
# ΚΑΙ
# ΠΕΤΡΟΥ
# ΤΟΥ ΑΘΩΝΙΤΟΥ

## ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΤΗ, ΙΒ΄ ΙΟΥΝΙΟΥ

(Ποίημα Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)

Ἀπεστάλη ἡμῖν πρὸς ἔκδοσιν τύποις παρὰ τοῦ Γέροντος ἀσκητοῦ Δανιὴλ Σπηλαιώτου μοναχοῦ, τῇ συμπράξει καὶ συνεργασίᾳ τοῦ ἁγιογραφικοῦ οἴκου Ἀδελφότητος Χαλδαίων ἐν Νέᾳ Σκήτῃ ἁγίου Παύλου τοῦ ἁγίου Ὄρους.

(Ἐκ τῆς «Ἁγιορειτικῆς Βιβλιοθήκης» ἔτος ε΄. ἀριθ. 49-50)

1940
ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΣΩΤ. Ν. ΣΧΟΙΝΑ
ΕΝ ΒΟΛΩ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΠΑΝΗΓΥΡΙΚΗ
# ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ
# ΟΝΟΥΦΡΙΟΥ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ
## ΚΑΙ
# ΠΕΤΡΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ
## ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΤΗ, ΙΒ΄ ΙΟΥΝΙΟΥ

**(Ποίημα Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)**

Ἀπεστάλη ἡμῖν πρὸς ἔκδοσιν τύποις παρὰ τοῦ Γέροντος ἀσκητοῦ Δανιὴλ Σπηλαιώτου μοναχοῦ, τῇ συμπράξει καὶ συνεργασίᾳ τοῦ ἁγιογραφικοῦ οἴκου Ἀδελφότητος Χαλδαίζων ἐν Νέᾳ Σκήτῃ ἁγίου Παύλου τοῦ ἁγίου Ὄρους.

**ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ**

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμοια.

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.**

Ἰχνηλάτης πανάριστος, τοῦ Προδρόμου τῆς χάριτος, τὴν ψυχὴν πτερούμενος θείῳ ἔρωτι, ὡς ἀληθῶς ἐχρημάτισας, Ὀνούφριε ὅσιε, ἐν ἐρήμῳ γὰρ στεῤῥῶς, κατοικήσας ἠξίωσαι δόξης κρείττονος, καὶ Ἀγγέλων ἐτράφης θείῳ ἄρτῳ, ὡς συνέστιος τῶν ἄνω, ὡς τῶν ἐν κόσμῳ ὑπέρτερος.

Ὡς τεθέαται ὅσιε, ὁ κλεινός σε Παφνούτιος, χαρμονῆς πεπλήρωται καὶ ἐκπλήξεως· ὅτι οὐράνιον Ἄγγελον, ἑώρα ἐν σώματι, καὶ ἐδόξαζε Χριστόν, τὸν λαμπρῶς σε δοξάσαντα καὶ τὸ τίμιον, καὶ σεπτόν σου κηδεύσας πάτερ σῶμα, σάλπιγξ γέγονεν ἐν κόσμῳ, τῆς εὐαγοῦς πολιτείας σου.

Τὸν τοῦ Πέτρου συνώνυμον, καὶ τοῦ Ἄθω τὸν πρώταρχον, Πέτρον τὸν θεόφρονα, μακαρίσωμεν· τῆς Θεοτόκου προνοίᾳ γάρ, δεινῆς ἐγκαθείρξεως, ὡς ἐῤῥύσθη θαυμαστῶν, πολιτείαν φιλόθεον καθυπέσχετο, καὶ ἐν Ὄρει κατάρας τῷ τοῦ Ἄθω, ἃ συνέθετο ἐν θλίψει, στεῤῥῶς εἰς ἔργον ἠγάγετο.

Ὥσπερ θήραμα κάλλιστον, θηρευτὴς ὁ φιλόχριστος, μυστικῶς θηρεύσας σε τὸν κρυπτόμενον, κήρυξ ἐδείχθη διάτορος, τῶν λαμπρῶν ἀγώνων σου, καὶ τῶν θείων δωρεῶν, τῷ ἐνθέῳ πληρώματι Πέτρε ὅσιε, καὶ πιστοῖς τὸ μακάριόν σου σκῆνος, ὡς τῆς χάριτος ταμεῖον, θεοπρεπῶς ἐφανέρωσε.

**Δόξα. Ἦχος δ΄.**

Τοὺς ὑπὲρ φύσιν βιωσαμένους, ὡς τὸν κόσμον εὐαγγελικῶς απο-

www.tezaurliturgic.ro



στραφέντας, Ὀνούφριον αἰνέσωμεν, καὶ Πέτρον τὸν μακάριον. Ὁ μὲν γὰρ ἐν Αἰγύπτῳ, τὴν τῶν παθῶν Αἴγυπτον καταλιπών, τῆς ἀπαθείας τῷ λειμῶνι ἐνήλασεν· ὁ δὲ ἐν Ὄρει τοῦ Ἄθω, τὸν ἐξ αἰωνίων ὀρέων φωτίζοντα ὑπέρθεον Λόγον, ἀσκητικῶς ἐδόξασε. Καὶ ἀμφότεροι παρὰ Θεοῦ δοξασθέντες, ἀπαύστως πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Ἀπόστιχα**

**Ἦχος β΄ Οἶκος τοῦ Εὐφραθᾶ**

Χαίροις τῶν ἀσκητῶν, δυὰς ἡ πανολβία, Ὀνούφριε καὶ Πέτρε, πολῖται τῆς ἐρήμου, θεῖοι καὶ οὐρανόφρονες.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Ἴσοι τὴν ἀρετήν, ἰσότιμοι τῇ δόξῃ, ὡράθητε πατέρες, κἂν διαφόροις χρόνοις, ἐνθέως ἠγωνίσασθε.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ἄστρον χρυσοφαές, ἐκ τῆς Αἰγύπτου ὤφθη, Ὀνούφριος ὁ μέγας, σέλας δὲ ἡσυχίας, ὁ Πέτρος ἐν τῷ Ἄθωνι.

**Δόξα. Τριαδικὸν**

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, Πέτρου καὶ Ὀνουφρίου, δέχου τὰς ἱκεσίας, καὶ οἴκτειρον τὸ πλάσμα σου.

**Καὶ νῦν. Θεοτοκίον**

Ἤκουσε τῶν σεπτῶν, ῥημάτων σου ὁ Πέτρος, καὶ ἔδραμεν ἐν Ἄθῳ, καὶ ὤφθη σοι Παρθένε, θεράπων οἰκειότατος.

Τὸ νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον μετὰ τοῦ Θεοτοκίου, ὅρα εἰς τὸ τέλος τοῦ μεγ. Ἑσπερινοῦ.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμια.

**Ἦχος πλ. δ΄.**

**Ὢ τοῦ παραδόξου θαύματος.**

Πάτερ θεόφρον Ὀνούφριε, ἐν ἐρημίᾳ μενῶν, τῶν παθῶν αὐλιζόμενον, εἰς ὁδὸν εὐθεῖάν με ἀρετῶν χειραγώγησον, πρὸς μετανοίας, τρίβον πρεσβείαις σου, πρὸς θελημάτων, Θεοῦ ἐκπλήρωσιν, πρὸς ἀδαπάνητον, τῶν καλῶν ἀπόλαυσιν ὅπως τὸ σόν, χαίρων πανασίδιμε, τελῶ μνημόσυνον.

Πάτερ θεόφρον Ὀνούφριε, τὸν παγετὸν τῆς νυκτός, καὶ ἡμέρας τὸν καύσωνα, τῇ ἐλπίδι ὅσιε, τῶν μελλόντων ὑπέμεινας, τὰ ἐπὶ γῆς σου μέλη νεκρώσας γάρ, τῆς οὐρανίου ζωῆς ἐπέτυχες, ἔνδον γενόμενος, τῆς παστάδος ἅγιε περιχαρῶς, κάλλος τὸ ἀμήχανον, ὁρῶν τοῦ Κτίστου σου.

Πάτερ θεόφρον Ὀνούφριε, τῆς κοσμικῆς σεαυτόν, ἀποστήσας συγχύσεως, πρὸς τὴν ὑπερκόσμιον, ἀνηνέχθης ἀκρότητα, αὐτὴν ποθήσας τῶν ἀγαθῶν τὴν πηγήν, αὐτὸ τὸ ὄντως ἐφετὸν ἔφθασας· οὗ ταῖς ἐλλάμψεσι, μάκαρ πυρσευόμενος ἁμαρτιῶν, ζόφου ταῖς πρεσβείαις σου, ἡμᾶς ἐξάρπασον.

Πάτερ παμμάκαρ Ὀνούφριε, τὰς ὑπὲρ νοῦν δωρεάς, οὐρανόθεν δεξάμενος, εὐσεβῶς μετέδωκας, τοῖς ποθοῦσι τρισόλβιε, τῆς σῆς ἀσκήσεως τὰ γνωρίσματα, εὐλογημένης φωνῆς ἀκήκοας, ἔνδον γενόμενος, τοῦ νυμφῶνος ἔνθα νῦν περιπολεῖς, θρόνῳ τοῦ Παντάνακτος, ἀξιοθαύμαστε.

**ΕΤΕΡΑ. Ἦχος β΄.**

**Ποίοις εὐφημιῶν στέμμασιν.**

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεῖον Πέτρον; τὸν

www.tezaurliturgic.ro



τοῦ Κορυφαίου συνώνυμον, καὶ τῶν Ἀσωμάτων τὸν σύμφυτον, τὸν τῆς Θεοτόκου θεῖον μύστην· τοῦ Ἄθω, τὸν πρωτοστάτην καὶ ἀκρέμονα, τὴν πέτραν, τῆς καρτερίας τὴν στερέμνιον, τὸν τοῦ δολίου βελίαρ, τὰς μηχανουργίας, θριαμβεύσαντα ἐμφανῶς, καὶ νίκης τὸν στέφανον, οὐρανόθεν κομισάμενον.

Ποίοις ᾀσματικοῖς μέλεσιν, ἀνυμνήσωμεν τὸν θεῖον Πέτρον; τὸ τοῦ Ἠλιοὺ ἀφομοίωμα, καὶ τοῦ Βαπτιστοῦ τὸ ἐκτύπωμα, τὸν στεῤῥὸν πολίτην τῆς ἐρήμου· τὸ δένδρον, τῆς ἀπαθείας τὸ γλυκύκαρπον· τὸν πλοῦτον, τοῦ Παρακλήτου τὸν πολύτιμον, τὴν θεοτύπωτον στήλην, τῶν λαμπρῶν ἀγώνων, δι' οὗ πρὸς κρείττονα ἀρετήν, ἀεὶ ῥυθμιζόμεθα, μοναζόντων τὰ συστήματα.

Πέτρᾳ τῆς ἀῤῥαγοῦς πίστεως, ἀκλινῶς ἐρηρεισμένος Πέτρε, ἔστης ἀκατάβλητος ὅσιε, ἐν ταῖς τοῦ ἐχθροῦ ἐπιθέσεσι, καὶ ταῖς φαντασίαις ταῖς ποικίλαις, καὶ τούτου, ἀπογυμνώσας τὴν κακόνοιαν, διῆλθες, ἐν ἡσυχίᾳ καὶ γυμνότητι, τὴν σὴν ζωὴν ὑπὲρ φύσιν· ὅθεν εὐφροσύνης, τὸν χιτῶνα προφητικῶς, ἠμφίεσαι χάριτι, μεταστὰς πρὸς φῶς ἀνέσπερον.

Πόθῳ οἱ εὐτελεῖς δοῦλοί σου, μακαρίζομέν σε πάτερ Πέτρε· σὺ γὰρ πολιτείαν ἀσώματον, ἥνωσας σαφῶς μετὰ σώματος, ἐν τῇ ὑπωρείᾳ τῇ τοῦ Ἄθω, καὶ βίᾳ, στεῤῥῶς παλαίων τῆς φύσεως, τοὺς δόλους, καὶ τὰς βουλὰς τοῦ κοσμοκράτορος, τῇ σῇ ἠχύρωσας πίστει· ἔνθεν σε ἡ χάρις, περιέθαλψε τοῦ Θεοῦ, καὶ ἄρτον οὐράνιον, θαυμαστῶς ἐδέχου ὅσιε.

**Δόξα. Ἦχος πλ. β'.**

Σήμερον ἐνθέως ἐξέλαμψεν, ἡ τῆς ὁσίας ξυνωρίδος μνήμη, Ὀνουφρίου τοῦ τρισμάκαρος, καὶ Πέτρου τοῦ ἐν Ἄθῳ τοὺς εὐσεβεῖς εὐφραίνουσα. Ταύτην οὖν χρεωστικῶς ἑορτάσωμεν, τοῖς ὁσίοις πατράσι βοῶντες. Χαίροις ὁ ἀπὸ βρέφους ἀνατεθεὶς τῷ Θεῷ, καὶ μέχρι τέλους αὐτῷ εὐαρεστήσας, ἐρημικοῖς καμάτοις σου, θεόφρον Ὀνούφριε. Χαίροις ὁ τῇ θεϊκῇ προνοίᾳ τῆς αἰχμαλωσίας ῥυσθείς, καὶ τῇ τῆς Θεοτόκου ὁδηγίᾳ, ἐν ἀβάτῳ ἐρήμῳ τοῦ Ἄθω οἰκήσας, καὶ Ἀγγελικῶς βιωσάμενος Πέτρε. Χαίρετε οἱ τὴν βροτείαν λαθόντες φύσιν, καὶ ἄγγελοι ἐν ὕλῃ φανέντες. Διὸ πατέρες πανόσιοι, τὴν ζωαρχικὴν Τριάδα δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Κεφ. Γ'. 1 Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐ-

www.tezaurliturgic.ro


πείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Κεφ. Ε΄ 16 Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι. καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Κεφ. Δ΄. 7 Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότηττος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Ἰδιόμελα. Ἦχος α΄.**

Φωστῆρες δύο ὑπέρλαμπροι, τῇ οἰκουμένῃ ἀνέτειλαν, Ὀνούφριος καὶ Πέτρος, τὴν Ἐκκλησίαν φαιδρύνοντες· ὁ μὲν γὰρ ἐξ Αἰγύπτου, ὡς ἑωσφόρος φαεινός, τῆς καθαροτάτης ἀσκήσεως, σελαγίζει τὰ γνωρίσματα· ὁ δὲ ἐκ τοῦ Ἄθω τοῦ ὑψιτενοῦς, ὡς οὐρανομήκης στῦλος τηλαυγής, τῆς πρὸς Θεὸν οἰκειώσεως, διαυγάζει τὰς ἐλλάμψεις. Βαδίσωμεν οὖν ἅπαντες, κατέναντι τῆς λάμψεως αὐτῶν, ἵνα τὸ σκότος τῶν παθῶν ἀποφύγωμεν, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως πολιτευσώμεθα, ὁμοφρόνως βοῶντες· Κύριε δόξα σοι.

www.tezaurliturgic.ro



Ὁ αὐτὸς

Πάλαι μὲν ἡ Αἴγυπτος, ἀπιστίας ζόφῳ ἐκαλύπτετο, νῦν δὲ τῆς δόξης Κυρίου πλήρης ὁρᾶται. Ἐν ταύτῃ γὰρ Ὀνούφριε, ἐν ὁσιότητος ἀκρότητι, τῷ τὰ χειροποίητα ταύτης καθελόντι, ἐλάτρευσας ἀοίδιμε· ἐν γὰρ ἀβάτῳ αὐλισθεὶς ἐρήμῳ, μόνος μόνῳ τῷ Θεῷ προσωμίλησας, ἀνενδότοις καθάρσεσι. Τίς οὖν κατ᾽ ἀξίαν τὸν ἐξηλλαγμένον βίον σου αἰνέσεται; τὸ τῆς νηστείας σύντονον; τῆς προσευχῆς τὴν ἀνάβασιν, τὴν ἄκραν τῆς ἐρήμου μόνωσιν, καὶ τὴν ἐν γυμνότητι ἀνδρείαν; Πάντα θαυμαστὰ τὰ σὰ καὶ ἐξαίρετα. Ἀλλ᾽ ὦ πατέρων ἀκροθίνιον, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτὸς

Ἄθως ὁ περίβλεπτος, ὁ εὐαγὴς τῆς Θεοτόκου κλῆρος, καυχᾶται τοῖς ἀγῶσί σου, Πέτρε παμμακάριστε· ἐν τούτῳ γὰρ τῷ Ὄρει ἐπιβάς, πρὸς ὄρη αἰώνια, τὴν διάνοιάν σου ὑψώσας· καὶ τῶν ἀρετῶν τὴν ἄσκησιν, ἀνενδότως διαμείβων, πέτρα ἀκατάσειστος, ὑπομονῆς ἐδείχθης· τῶν γὰρ μανιωδῶν τοῦ σκότους φασμάτων, καὶ τῶν ποικίλων τῆς φύσεως ἀναγκῶν, στεῤῥοτάτῳ φρονήματι, περιεγένου πάτερ. Ὅθεν τῆς καρτερίας σου τὴν φρόνησιν, Ἄγγελοι ἐθαύμασαν, δαίμονες τεθήπασι, καὶ ἡ Ἐκκλησία ἠγάσθη, καὶ τῷ σὲ δυναμώσαντι, ἐν ἀγαλλιάσει κράζει, Κύριε δόξα σοι.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε τῶν πιστῶν αἱ πατριαί, δεῦτε καὶ ἐνωτίσασθαι, οἵους ἀγῶνας διήνυσαν, Ὀνούφριος καὶ Πέτρος, οἱ γενναῖοι ἀδάμαντες· τὴν γὰρ φύσιν λαθόντες, τοῦ τῶν Ἀγγέλων ἐν οὐρανοῖς πολιτεύματος, οὐδαμῶς ἀπελείφθησαν. Ὢ τοῦ θαύματος! πῶς οὐδόλως ἐκάμφθησαν τῇ ἄκρᾳ σκληραγωγίᾳ; πῶς δὲ καὶ ἐντέχνως διεκρούσαντο, τὸν πονηρὸν κοσμοκράτορα; ὅπου γὰρ ἔρως θεϊκός, πάντα ὑπὲρ φύσιν ἐνεργεῖται. Ἀλλ᾽ Υἱὲ Θεοῦ Μονογενές, ὁ τοὺς ὁσίους μεγαλύνας, παράσχου δι᾽ αὐτῶν τῷ κόσμῳ σου, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια
Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ὑπερκόσμιος νοῦς, ὁ τῶν Ἀγγέλων μιμητὴς καὶ ἰσότιμος, βροτὸς γὰρ ὑπάρχων πάτερ, τὴν ὑπὲρ φύσιν ζωήν, οὐρανίῳ πόθῳ πεπολίτευσαι, εἰς ἔρημον ἄβατον, προσχωρήσας Ὀνούφριε, καὶ πᾶν γεῶδες, τιναξάμενος φρόνημα, καὶ ἰσάγγελος γεγονὼς μετὰ σώματος· ὅθεν θάμβους πεπλήρωται, ἐν σοὶ ὁ Παφνούτιος, καὶ κήρυξ ὤφθη τῷ κόσμῳ, τῆς ὑπὲρ νοῦν πολιτείας σου, δι᾽ ἧς ἐδοξάσθη, ὁ δοξάσας σε πλουσίως, τῆς δόξης Κύριος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις Ὄρους τοῦ Ἄθω ἀστήρ, καὶ οἰκιστὴς θεοειδὴς ὀρεσίτροφος· τὸ ξίφος τὸ διακόψαν, τὰς τῶν δαιμόνων ὁρμάς· τὸ τῆς ἡσυχίας, ὄμμα ἄγρυπνον· ὁ φίλος ὁ γνήσιος, τῆς ἁγνῆς θεομήτορος, ταύτης γὰρ πάτερ, τῇ προνοίᾳ θαλπόμενος, διεσκέδασας, τοῦ ἐχθροῦ τὰ βουλεύματα, Πέτρε μακαριώτατε, ἡ πέτρα ἡ ἄθραυστος, τῆς ἀῤῥαγοῦς καρτερίας, ἡσυχαστῶν στάθ-

www.tezaurliturgic.ro

μη ἔμψυχε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις ἡ τῶν ὁσίων δυάς, οἱ ὀρεινόμοι, οὐρανόφρονες ἄνθρωποι, οἱ λύχνοι οἱ δᾳδουχοῦντες, τῆς ἀπαθείας τὸ φῶς, καὶ τοῦ Παρακλήτου, τὰ χαρίσματα, Ὀνούφριε ἔνδοξε, τῆς Αἰγύπτου ἀγλάϊσμα, καὶ πάτερ Πέτρε, τὸ τοῦ Ἄθω σελάγισμα, καὶ περίβλεπτον, ἀρετῶν στηλογράφημα, δένδρα τὰ ἀγλαόκαρπα, καρπῶν τῆς ἀσκήσεως, τῆς ἀκτησίας ὁ πλοῦτος, θείας ἀγάπης οἱ ἄνθρακες, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Δόξα. Ἦχος πλ. δ'.**

Τὴν ἰσάγγελον ζωήν, ἐπ' ἐρήμους διανύοντες, ἀγγελικῆς διακονίας, κατ' ἀξίαν ἠξιώθητε, ἔξω κόσμου καὶ σαρκὸς γὰρ γεγονότες, ἐπουρανίῳ εἰκότως ἄρτῳ, δι' Ἀγγέλων ἁγίων ἐτράφητε. Τί οὖν ὑμᾶς καλέσωμεν; Ἀγγέλους ἐν σώματι; ξένους καὶ παροίκους τῶν γηΐνων ἢ τῆς δόξης Κυρίου θεωρούς; Καὶ νῦν ἀνακεκαλυμμένως, τὸ θεῖον κάλλος καρπούμενοι, Ὀνούφριε καὶ Πέτρε, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Τὸ νῦν ἀπολύεις. Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον μετὰ τοῦ Θεοτοκίου.

**Ἦχος α'. Τῆς ἐρήμου πολίτης.**

Τῶν Ἀγγέλων τὸν βίον ἐν σαρκὶ μιμησάμενοι, ὤφθητε ἐρήμου πολῖται, καὶ χαρίτων κειμήλια, Ὀνούφριε Αἰγύπτου καλλονή, καὶ Πέτρε τῶν ἐν Ἄθω ὁ φωστήρ· διὰ τοῦτο τοὺς ἀγῶνας, ὑμῶν ἀεὶ τιμῶμεν ἀναμέλποντες. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

**Θεοτοκίον**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ἢ τὸ Θεοτόκε Παρθένε, ἐὰν τελῆται ἀγρυπνία, ὅτε γίνεται ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις ἐκ τοῦ βίου τῶν Ἁγίων.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον καὶ τὸ Θεὸς Κύριος, ψάλλομεν τὰ ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ δὲ τὴν α'. Στιχολογίαν ψάλλομεν τὰ ἑπόμενα Καθίσματα.

**Ἦχος α'. Τὸν Τάφον Σου Σωτήρ.**

Ἐκ βρέφους τῷ Χριστῷ, ἠκολούθησας πάτερ, καὶ κόσμου τὰ τερπνά, ἐβδελύξω ἐμφρόνως· ἐντεῦθεν συνηρίθμησαι, μοναστῶν ὁμηγύρεσι, καὶ διέλαμψας, πάσῃ σπουδῇ ἐναρέτῳ, γυμναζόμενος, πρὸς τοὺς τελείους ἀγῶνας, Ὀνούφριε ὅσιε.

**Δόξα. Ὅμοιον**

Τὸν Πρόδρομον Χριστοῦ καὶ Ἠλίαν τὸν μέγαν, μιμούμενος σοφέ, ἐν ἐρήμῳ ἀβάτῳ ηὐλίσθης ἀγαλλόμενος, μηδεμίαν ποιούμενος, σαρκὸς πρόνοιαν, ἀλλ' ἐντρυφῶν καθ' ἑκάστην, θείαις πράξεσιν ὤφθης θεράπων Κυρίου, Ὀνούφριε μέγιστε.

ἐν μετανοίᾳ θερμῇ διανύσω τὸ ὑπόλοιπον, καὶ ὀρθῷ κληρο- τῆς ἄνω λαμπρότητος.

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον ὅμοιον**

Καθάρισον Ἁγνή, τὴν ῥυπῶσαν ψυχήν μου, καὶ φώτισον φωτί, τῆς σῆς δόξης τὸν νοῦν μου, τοῦ σώματος δὲ νέκρωσον, τὰς ὀρέξεις Πανάμωμε, καὶ ἀνάδειξον, δοῦλον πιστόν με ἐν πᾶσι, τοῦ ἐκλάμψαντος, ἐκ τῆς ἀχράντου γαστρός σου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μετὰ τὴν β΄. στιχολογίαν. Καθίσματα.

**Ἦχος δ΄.**

**Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Αἰχμαλωσίας χαλεπῆς ὡς ἐῤῥύσθης, τῇ μεσιτείᾳ Νικολάου τοῦ θείου, τὰς σὰς εὐχὰς πληρῶσαι πάτερ ἔσπευσας, ἃς ἐν θλίψει πρότερον, καθυπέσχου Κυρίῳ· χαίρων γὰρ ὑπέκλινας, τῷ ζυγῷ τοῦ Σωτῆρος, καὶ τὴν στενὴν ἐβάδισας ὁδόν, Πέτρε τρισμάκαρ σκηνώσας ἐν Ἄθωνι.

**Δόξα. Ἦχος πλ. α΄.**

**Τὸν συνάναρχον Λόγον.**

Ἐν τῷ Ὄρει τοῦ Ἄθω πάτερ προσέδραμες, ὁδηγηθεὶς τῇ προνοίᾳ τῆς Θεοτόκου ἁγνῆς, καὶ κατέπληξας βροτοὺς τῇ πολιτείᾳ σου, ἐν γυμνότητι καὶ γὰρ διελήλυθας τὸ ζῆν, καὶ ᾔσχυνας τὸν Βελίαρ, τῇ καρτερᾷ σου ἐνστάσει, Πέτρε ὁσίων ἐγκαλλώπισμα.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον**

Ἐπιστᾶσα κατ᾿ ὄναρ Θεοχαρίτωτε, τῷ σῷ θεράποντι Πέτρῳ σὺν Νικολάῳ ὁμοῦ, καθωδήγησας αὐτὸν ἐπὶ τὸν κλῆρόν σου, ἔνθα τῇ σῇ ἐπισκοπῇ, θριαμβεύσας τὸν ἐχθρόν, δεδόξαστε ἀριδήλως, σὺ ταῖς εὐχαῖς Θεοτόκε, φρούρει ἡμᾶς τοὺς πεποιθότας σοι.

Μετὰ τὸν πολυέλεον. Καθίσματα

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**

Τῆς ἐρήμου πολῖται καὶ οἰκισταί, ξυνωρὶς τῶν ὁσίων ἡ θαυμαστή, Ὀνούφριε ἔνδοξε, σὺν τῷ Πέτρῳ ἐδείχθητε, ὁ μὲν ἐν τῇ Αἰγύπτῳ βιώσας ὡς ἄσαρκος, ὁ δὲ ἐν Ὄρει Ἄθῳ αἰσχύνας τὸν δράκοντα· ὅθεν οὐρανίων, ἀγαθῶν κληρονόμοι, καὶ σύμφυτοι ὤφθητε ἀληθῶς καὶ ἰσότιμοι, τῶν Ἀγγέλων μακάριοι. Πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, ὑμῶν τὰ μνημόσυνα.

**Δόξα καὶ νῦν. Θεοτοκίον ὅμοιον**

Πολυώνυμε Κόρη ὑπερκαλλής, Θεοβάδιστε τόπε πύλη ζωῆς, νεφέλη ὁλόφωτε, τοὺς πιστοὺς ἀναψύχουσα, ἡ ζωηφόρος βρύσις, τῆς θείας χρηστότητος, ἡ βλύζουσα τῷ κόσμῳ, ἐλέους τὰ ῥεύματα, πλῦνον τὴν ψυχήν μου, ἐκ παθῶν ἀκαθάρτων, καὶ κάθαρον Ἄχραντε, λογισμῶν τὴν καρδίαν μου,* ~~θείου φέγγου καθάρσεσιν, ὡς ἂν ἐν μετανοίᾳ θερμῇ διανύσω ὅλον τὸ ὑπόλοιπον, καὶ ὀρθῶ κληρονόμος~~ τῆς ἄνω λαμπρότητος.

Οἱ Ἀναβαθμοί, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου.

**Προκείμενον**

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Εὐαγγέλιον εἰς ὁσίους.

Ὁ Ν΄. Ψαλμός. Δόξα, ταῖς τῶν σῶν ὁσίων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς καὶ τὸ ἰδιόμελον.

**Ἦχος πλ. β΄.**

Σήμερον τῶν μοναζόντων οἱ χοροί, ἐν ἔργοις θεαρέστοις λευχειμονοῦντες, τοῖς θεοφόροις πατράσι δράμωμεν, Ὀνουφρίῳ καὶ Πέτρῳ· ἰδοὺ γὰρ ἐπέστησαν ἡμῖν, ὡς ἀστέρες πολύφωτοι, τῆς θεοφιλοῦς ἀσκήσεως, ἀστράπτοντες τὰς χάριτας, καὶ τῆς ῥαθυμίας τὸν ζόφον, ὁλοτελῶς ἐκμει-

www.tezaurliturgic.ro



οῦντες. Αὐτοῖς οὖν βοήσωμεν. Πατέρες ἰσάγγελοι, πρὸς τὸ νοητὸν φῶς Χριστοῦ τῶν προσταγμάτων, ἀσφαλῶς κυβερνήσατε, τοὺς ὁμοφρόνως ὑμᾶς μακαρίζοντας.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.λ.π.

ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ'. καὶ τῶν ἁγίων οἱ δύο εἰς η'.

Ὁ Κανὼν τῆς Θεοτόκου

**Ἦχος β'. Ὁ Εἱρμός.**

»Ἐν βυθῷ κατέστρωσέ ποτε, τὴν »Φαραωνίτιδα πανστρατιάν, ἡ ὑ»πέροπλος δύναμις, σαρκωθεὶς ὁ Λόγος »δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξή»λειψεν, ὁ δεδοξασμένος Κύριος, ἐνδό»ξως γὰρ δεδόξασται. (δίς)

Ὡς ὡραίαν ὡς περικαλλῆ, ὅλην ὡς ἀμώμητον, ἐν γυναιξὶ Θεός σε ἐκλεξάμενος, σοῦ τὴν μήτραν ᾤκησε τὴν ἀμώμητον, ὃν δυσώπει Πανάμωμε, μώμου ἐγκλημάτων, ἅπαντας ρυσθῆναι τοὺς ὑμνοῦντάς σε.

Ψαλμικῶς Ἁγνὴ ἐκ δεξιῶν, οἷάπερ Βασίλισσα, τοῦ ἐκ τῆς σῆς νηδύος ἀναλάμψαντος, Βασιλέως ἔστηκας, ὃν ἱκέτευε δεξιὸν παραστάτην με, δεῖξαι ἐν ἡμέρᾳ, τῆς ἀνταποδόσεως Πανάμωμε.

Χερσωθεῖσαν φύσιν τῶν βροτῶν, πᾶσιν ἀτοπήμασι, τὸν ὑετὸν τεκοῦσα τὸν οὐράνιον, ὅλην ἀνεκαίνισας, ἀλλὰ δέομαι τῆς ψυχῆς μου τὴν αὔλακα, ἀποχερσωθεῖσαν, δεῖξον καρποφόρον Θεονύμφευτε.

Χαρμονῆς παραίτιος ἡμῖν, ὤφθης χαροπάροχε, τὸν τὴν χαρὰν τοῖς ἀνθρώποις πηγάσαντα, ἀνωδίνως τέξασα, διὸ ῥῦσαί με ἀθυμίας καὶ θλίψεως, καὶ τὸν τεθλιμμένον, νοῦν μου χαροποίησον Πανάμωμε.

**ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.**

**Ἦχος ὁ αὐτός. Δεῦτε λαοί.**

Ὅλον Χριστόν, εἰσοικισάμενος ἔνδοξε, καὶ κόσμου παρωσάμενος, δόξαν τὴν ἄστατον, τῆς αὐτοῦ ἀπολαύεις, Ὀνούφριε ἀξίως χαρᾶς ἀοίδιμε.

Νόμῳ Χριστοῦ, ἐμμελετήσας θεσπέσιε, δένδρον ζωῆς κατάκαρπον, ἀρεταῖς δέδειξαι, προβαλλόμενος χάριν, τῶν θείων ἰαμάτων τοῖς κατορθώμασιν.

Νοῦν καθαρόν, ἀπὸ παιδὸς προσκτησάμενος, τοῦ Βαπτιστοῦ Ὀνούφριε τὴν ὑπεράνθρωπον, βιοτὴν ἐμιμήσω, διὸ καὶ πρὸς ἐρήμους χαίρων ἐχώρησας.

**Θεοτοκίον**

Οἶκος Ἁγνή, ὁ τῆς Σοφίας ἐγνώρισαι, ἐκ τῶν αἱμάτων σάρκα γάρ, τῶν σῶν ἁγνῶν λαβών, καὶ Σταυρῷ ὁμιλήσας, Θεὸς τῆς ἀπαθείας, ἡμῖν μετέδωκεν.

**ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου.**

**Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας**

Πλουσίαις ἐκλάμπων μαρμαρυγαῖς, ὡς φωτὸς ἀδύτου, κληρονόμος θεοειδής, καταύγασον Πέτρε τὴν ψυχήν μου, ἀνευφημοῦντος τὰ σὰ κατορθώματα.

Ἐν βίῳ ὑπάρχων περιφανής, κτήσει τῆς σοφίας, καὶ τῇ γνώσει τῇ εὐαγεῖ, Χριστοῦ δὲ τοῖς ἴχνεσι βαδίσας, περιφανέστατος Πέτρε γεγένησαι.

Τῆς σῆς ἐπακούσας πάτερ φωνῆς διὰ Νικολάου τοῦ τρισμάκαρος ὁ Θεός, καὶ τοῦ Συμεὼν τοῦ Θεοδόχου, αἰχμαλωσίας δεινῆς σε ἐρρύσατο.

**Θεοτοκίον**

Ῥημάτων σου θείων ἐκπληρωτής, ὁ ὅσιος Πέτρος, ἀνεδείχθη Μῆτερ

www.tezaurliturgic.ro

ἁγνή, ἐν Ὄρει τοῦ Ἄθω γὰρ σκηνώσας, τῇ ἀρωγῇ σου ἐχθρὸν ἐτροπώσατο.

**Καταβασία.** Ἀνοίξω τὸ στόμα μου.

(Ἐὰν ἐγένετο ἀπόδοσις τῆς Πεντηκοστῆς.)

**Ὠδὴ γ΄. Ὁ Εἱρμὸς**

»Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρῖνον »Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, »Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ »ἐστερεώθη ἡ καρδία μου. (δίς).

Φορέσας με τὸν ἄνθρωπον, ἐκ γαστρός σου πρόεισιν, ὁ Ποιητὴς Πανάχραντε, ἀφθαρσίας στολὴν δωρούμενος, τοῖς πολλοῖς γυμνωθεῖσαν ἀτοπήμασιν.

Ὑπέρτιμον ἐκύησας, Θεὸν Λόγον Ἄχραντε, ὃν ἐκτενῶς ἱκέτευε, οἰκτειρῆσαι τὴν ταπεινήν μου ψυχήν, ἡδονῶν ἀτιμίᾳ σκυθρωπάζουσαν.

Τὰ τραύματα θεράπευσον, τῆς ψυχῆς μου Πάναγνε, τὴν ταπεινὴν καρδίαν μου, φαρμαχθεῖσαν ἰῷ τοῦ ὄφεως, δραστικῷ σου φαρμάκῳ περιποίησαι.

Τῆς Εὔας ἐπανόρθωσις, ὤφθης Παναμώμητε, τὸν Λυτρωτὴν κυήσασα, τὸν ἐκ λάκκου ἡμᾶς συμπτώσεων, ἀνορθοῦντα δι' ἄκραν ἀγαθότητα.

**ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.**
**Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.**

Ὑπῆλθες τὸν ζυγὸν Χριστοῦ Ὀνούφριε, ἐρήμοις ἀβάτοις σὺ καταμόνας, ὁμιλεῖν ἐπιποθῶν αὐτῷ, καὶ τοῦ κάλλους τρυφᾶν δόξης, τῆς θείας αὐτοῦ.

Φωτίσας σεαυτὸν φωτὶ τῆς γνώσεως, καὶ γνόφον σκεδάσας τῶν παθημάτων, ἐν πλαξὶ ταῖς τῆς καρδίας σου, ἀπαθείας τὸν νόμον πάτερ εἴληφας.

Φρονήματι σοφῷ καλλωπιζόμενος, σαρκός σου τὴν πρόνοιαν ἀπηρνήσω, καὶ Ἀγγέλων ἰσοστάσιος, ἀνεδείχθης Ὀνούφριε ἐν σώματι.

**Θεοτοκίον**

Ῥανίδι συμπαθῶς τῇ τῆς πρεσβείας σου, τὴν φλόγα κατάσβεσον τῆς ψυχῆς μου, Θεοτόκε ἀειπάρθενε, συμπαθείας πηγήν μοι ἐπαρδεύουσα.

**ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου.**
**Σὺ εἶ τὸ στερέωμα.**

Ὅλος σοι φαινόμενος, πλήρης στοργῆς ὁ Νικόλαος, τὴν ποθητήν, τρίβον σοι δεικνύει, ἀσφαλῶς περιέπων σε.

Νοῦν τὸν σὸν κατεύθυνας, πρὸς τὸ σωτήριον θέλημα, εὐοδωθείς, Πέτρε πρὸς τὴν Ῥώμην, θείᾳ ῥώμῃ ῥωννύμενος.

Γνοὺς τὴν σὴν προσέλευσιν, Ἀρχιερεὺς ὁ θεόληπτος, τῶν μοναστῶν, Πέτρε καταλέγει, τῷ ὁσίῳ σε τάγματι.

**Θεοτοκίον**

Ἔχων σε βοήθειαν, Πέτρος ὁ δοῦλός σου Ἄχραντε, τὰς τοῦ ἐχθροῦ, δεινὰς πανουργίας, στεῤῥοφρόνως διέλυε.

**Καταβασία:** Τοὺς σοὺς ὑμνολόγους.

## Καθίσματα

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε**

Ἐμάκρυνας ὅσιε καὶ ἐν ἐρήμοις σαφῶς, ηὐλίσθης τὸν Κύριον, ῥυόμενόν σε δεινῶν, ἀεὶ ἐκδεχόμενος· ὅθεν εὐαρεστήσας, τῷ Δεσπότῃ παμμάκαρ, εἴληφας τὴν ἀγήρω, οὐρανῶν βασιλείαν, ἐν ᾗ χοροβατῶν Ὀνούφριε, ἡμῶν μνημόνευε.

**Δόξα, ὅμοιον**

Γυμνὸς προσεχώρησας πρὸς τοὺς ἀγῶνας σοφέ, καὶ πάσας ἐγύμνωσας, τὰς μηχανὰς τοῦ ἐχθροῦ, ἀτρέπτῳ ἐνστάσει σου· σὺ γὰρ ἐν ὑπωρείᾳ, τῇ τοῦ Ἄθω ἀσκήσας, πάσας τὰς κακουχίας, τῶν δαιμόνων καθεῖλες· διό σε

www.tezaurliturgic.ro 

παμμάκαρ Πέτρε, Χριστὸς ἐθαυμάστωσε.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον

Ταχεῖάν σε σύμμαχον καὶ ἀρωγὸν εὐμενῆ, ὁ Πέτρος ὁ ὅσιος ἐφευρηκὼς ἀληθῶς, Παρθένε πανάμωμε, ἔβαλε τὸν βελίαρ, τῇ ἁγίᾳ σου κλήσει, ἤνυσε δὲ ὁσίως, ἀρετῶν τὴν πορείαν, καὶ νῦν τῆς σῆς εὐκλείας, ὁρᾷ τὴν ἔλλαμψιν.

Ὠδὴ δ΄ Ὁ εἱρμὸς

»Ἐλήλυθας ἐκ Παρθένου, οὐ πρέ»σβυς οὐκ Ἄγγελος, ἀλλ᾽ αὐτὸς »ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, »ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω »σοι. Δόξα τῇ δυνάμει σου Κύριε. (δὶς)

Σταγόνα μοι κατανύξεως, ὄμβρισον Δέσποινα, ἐξαίρουσαν ἅπαντα, τὸν τῆς καρδίας μου καύσωνα, καὶ τῆς διανοίας μου, τὰς σφαλερὰς ἐνθυμήσεις ἀναστέλλουσαν.

Ῥομφαίᾳ ἡδονῆς με, πληγέντα καὶ κείμενον, τραυματίαν Ἄχραντε, μὴ ὑπερίδῃς ἀλλ᾽ ἴασαι, λόγχῃ καὶ τῷ αἵματι, τοῦ σταυρωθέντος Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν.

Πλουτήσασα δεσποτείαν, ἁπάσης τῆς κτίσεως, δεινῶς με πτωχεύσαντα, χάριτος θείας οἰκτείρησον, ὅπως μεγαλύνω σε, ὡς ἀγαθήν μου προστάτιν Παναμώμητε.

Παράδεισος εὐθαλής, καὶ θεόφυτος πέφηνας, τὸν τῆς δόξης Κύριον, ζωῆς ὡς ξύλον βλαστήσασα, τοὺς δεινῶς τῷ δήγματι, τοῦ πλάνου θνήξαντος, Ἄχραντε ζωοῦντα καὶ σῴζοντα.

ΕΤΕΡΟΣ. Τοῦ ὁσίου Ὀνουφρίου

Εἰσακήκοα Κύριε.

Ἱδρυμένος ἀκλόνητος, παρὰ Χριστοῦ δαιμόνων τρικυμίας, ὡς ἀφρὸν Ὀνούφριε διαλέλυκας.

Ὡς ἀδάμας τοῖς θάλπεσι, καὶ τοῖς κρυμοῖς στεῤῥῶς ἐγκαρτερήσας, τῶν δαιμόνων ἔλυσας τὰ παλαίσματα.

Ὡς κατεῖδέ σε ὅσιε, ὁ ἱερὸς Παφνούτιος ἐξέστη, τῆς σῆς πολιτείας τὴν χάριν ἀγάμενος.

Θεοτοκίον

Τῆς ψυχῆς μου τὴν κάκωσιν, τοῦ σοῦ Υἱοῦ τῇ λάμψει Θεοτόκε, ἀφελοῦσα σύναψον σωτηρίᾳ με.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου

Σύ μου ἰσχὺς Κύριε.

Ῥώμην σοφέ, τὴν εὐαγῆ μεγαλόπολιν, καταλείψας, ὅλος ἔνθους ἔσπευσας, ἀποπληρῶσαι τὰς σὰς εὐχάς, ἅσπερ συνετάξω, ἐν θλίψει τῷ ῥυσαμένῳ σε, ἡσύχως γὰρ ἀνύσαι, ἡρετίσω τὸν βίον, καὶ ὁσίως λατρεῦσαι Κυρίῳ σου.

Ἀποδημῶν, τῆς κοσμικῆς ματαιότητος, καὶ ἐκπλέων, κόσμου τὸ κλυδώνιον, ἐπερατώθης θείᾳ βουλῇ, ἐν Ὄρει τοῦ Ἄθω καὶ ἐν αὐτῷ κατεσκήνωσας· Μητρὸς γὰρ τῆς τοῦ Λόγου, τὰς λαμπρὰς ὑποσχέσεις, ὡς λιμένα ἀχείμαστον εὕρηκας.

Ἰδὼν σεμνῶς, τὴν Θεοτόκον τὴν ἄχραντον, σὺν τῷ θείῳ, Νικολάῳ ὅσιε καὶ ἐκ χειλέων τῶν ἑαυτῆς, τῶν ἐπαγγελμάτων, ἀκηκοὼς τὰ μηνύματα, χαρᾶς ἐπλήσθης θείας, καὶ τῇ ταύτης προνοίᾳ, σεαυτὸν ὅλον Πέτρε ἐκδέδωκας.

Θεοτοκίον

Ῥήσεις τὰς σάς, καὶ τὰ πιστὰ εὐαγγέλια, οἷα πάλαι, ἐπηγγείλω Δέσποινα, Πέτρῳ τῷ μύστῃ σου τῷ πιστῷ, κεκτημένοι πάντες, οἱ τῷ ~~σῷ~~ Ὄρει μονάζοντες, ἁπάσης δυσχερείας, διὰ τῆς σῆς εὐνοίας, ἐκλυτρούμεθα σὲ μεγαλύνοντες.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ὁ εἱρμὸς

»Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέ»γονας Χριστὲ ὁ Θεός, διὰ σοῦ

www.tezaurliturgic.ro

»γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, »προσαγωγὴν ἐσχήκαμεν. (δίς)

Ὁδὸν τῆς ζωῆς, ἡ τεκοῦσα Ἄχραντε ὁδήγησον, ὁδὸν εἰς εὐθεῖάν με, νῦν εἰς ἀνοδίας τε καὶ βάραθρα, χαλεπῶν συμπτωμάτων, ἀλόγως κρημνιζόμενον.

Ξενώσας φρενί, ἐμαυτὸν ἀγνώμονι Παρθένε Μήτηρ Θεοῦ, ἀσώτως ἐδίωσα, χώραν εἰς μακρὰν περιπλανώμενος, ἀλλ᾽ ἐπίστρεψον σῶσον, ταῖς σαῖς με παρακλήσεσιν.

Ναμάτων τῶν σῶν, ζωηῤῥήτων πότισον τὸν δοῦλόν σου, φλογμῷ συγκαιόμενον, τῶν ἁμαρτιῶν καὶ κινδυνεύοντα, προσβολαῖς τῶν δαιμόνων, Παρθενομῆτορ Ἄχραντε.

Ναὸς θεαυγής, καὶ λαμπρὸν ἀνάκτορον Χριστοῦ ὑπάρχουσα, σκεῦος θείου Πνεύματος, τὴν ψυχήν μου ἔργασαι Πανύμνητε, νοητῶν γεγονυίαν, ληστῶν κατοικητήριον.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.
Ὁ τοῦ φωτὸς χορηγός.

Ὁλοκαυτώσας τὸν νοῦν, τῷ δι᾽ ἡμᾶς ὑπὲρ ἡμῶν θάνατον, διὰ Σταυροῦ κεκαρτερηκότι, ἀξίως κοινωνός, καὶ συγκληρονόμος τῆς δόξης γεγένησαι.

Ναὸν εἰργάσω σαυτόν, ὁλολαμπῆ ταῖς ἀρεταῖς ὅσιε, διαφανεῖς βολίδας ἐνθέους, ἀστράπτων τηλαυγῶς, θείων θαυμασίων παμμάκαρ Ὀνούφριε.

Νοῒ ἐνθέῳ σοφέ, τὴν τοῦ Χριστοῦ κατανοῶν ἔλλαμψιν, ἐν τῇ ἐρήμῳ ὡς ἐν Παραδείσῳ, κατῴκεις ἐν χαρᾷ, τὰ τῆς ἀφθαρσίας ἐκφέρων βλαστήματα.

Θεοτοκίον

Ἀγαθοδότην Χριστόν, Θεοκυήτρια Ἁγνὴ τέξασα, τὸν πονηραῖς παθῶν τρικυμίαις, κλονούμενόν με νῦν, τῇ σῇ εὐσπλαγχνίᾳ Παρθένε θεράπευσον.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου.
Ἵνα τί με ἀπώσω.

Ὡς παλάτιον μέγα, ᾤκησας τὸ σπήλαιον Πέτρε μακάριε, καὶ τὴν σὴν καρδίαν, εὐαγὲς τῆς Τριάδος ἀνάκτορον, ἐναρέτοις πόνοις, καὶ ἀκροτάτῃ σου ἀσκήσει, ἀληθῶς ἀπειργάσω ἀοίδιμε.

Τῶν δαιμόνων τὰ σμήνη, κατιδόντα ὅσιε τὴν πολιτείαν σου, πλείσταις πανουργίαις, κατὰ σοῦ ἐφορμῶντα ἐχρήσαντο, ἀλλὰ τῇ σῇ στάσει, ἥττηται τούτων ἡ μανία· τῇ γὰρ θείᾳ ἠτένιζες χάριτι.

Ὁλοτρόπως λυττήσας, κατὰ σοῦ μακάριε ὁ δολιότροπος, ἐν πλήθεϊ ὤφθη, τοξοτῶν μανικῶς πολεμούντων σε, ἀλλ᾽ ἠμφιεσμένος, τὴν τῆς Πανάγνου πανπευχίαν, ἐτροπώσω αὐτοῦ τὴν θρασύτητα.

Θεοτοκίον

Νοερῶς τὴν σὴν δόξαν, μόνη ὑπερένδοξε θεοχαρίτωτε, ὁ θεόφρων Πέτρος, θεωρῶν καθαρθεὶς τὴν διάνοιαν, ἤνεγκεν ἀνδρείως, τὰς τῶν δαιμόνων κακουργίας, καὶ τὴν τόλμαν αὐτῶν καταβέβληκεν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ϛ᾽. Ὁ εἱρμός

»Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμε»νος, τὴν ἀνεξιχνίαστον τῆς εὐ»σπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσ«σον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. (δίς)

Μή με δείξῃς δαιμόνων ἐπίχαρμα, ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι Δέσποινα, ἀλλ᾽ εὐμενῶς προσβλέψαι μοι, τὸν Κριτὴν καὶ Υἱόν σου δυσώπησον.

Λογισμοῖς παροργίζων σε Κύριε, καὶ ταῖς πονηραῖς καὶ ἀθέσμοις μου πράξεσιν, εἰς ἱλασμὸν προσάγω

www.tezaurliturgic.ro


σοι, τὴν Μητέρα σου οἴκτειρον σῶσόν με.

Κατακρίσεως ῥῦσαί με Δέσποινα, τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν, ὡς τὸν Κριτὴν κυήσασα, καὶ Θεὸν τῶν ἁπάντων καὶ Κύριον.

Κυβερνήτην Χριστὸν ἡ κυήσασα, εὐπλόως κυβέρνησον τὴν πολιτείαν μου, καὶ πρὸς λιμένα ἴθυνον, τῆς ἀλήκτου ζωῆς με Πανάμωμε.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου.

Εἱρμὸς ὁ αὐτός

Ἰθυνόμενος αὔραις τοῦ Πνεύματος, ὅρμῳ γαληνῷ προσεπέλασας ὅσιε, τὸ βάρος παρωσάμενος, τῆς σαρκὸς ἐγκρατείᾳ Ὀνούφριε.

Νεύσει θείᾳ θεούμενος γέγονας, ἄγγελος ἐπίγειος τὴν Ἰωάννου γάρ, καὶ Ἠλιοῦ ἐζήλωσας, πολιτείαν παμμάκαρ Ὀνούφριε.

Νοητῆς φωταυγείας πληρούμενος, καὶ ἐπουρανίῳ τροφῇ ἐκτρεφόμενος, Ἀγγέλους συλλαλοῦντάς σοι, ὡς ἰσάγγελος ἔσχες Ὀνούφριε.

Θεοτοκίον

Ὀδυνώμενος πάθεσιν Ἄχραντε, καὶ συμποδιζόμενος τοῖς παραπτώμασιν, ἡ τὴν χαρὰν κυήσασα, τῶν κακούντων τὴν λύσιν παράσχου μοι.

ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου

Ἱλάσθητί μοι Σωτήρ.

Τὴν ἔρημον παροικῶν, ξένος τοῦ κόσμου καὶ πάροικος, ἐδείχθης ὡς ἀληθῶς, Πέτρε παμμακάριστε· Θεῷ ἠρετίσω γάρ, μόνος μόνῳ πάτερ, προσανέχειν τελεώτατα.

Ὁ δολιόφρων ἐχθρός, ὁ κατὰ σοῦ φρυαττόμενος, δίκην δεινῶν ἑρπετῶν, καὶ θηρίων ὥρμησε, κατὰ σοῦ μακάριε, ἀλλὰ κλήσει τοῦτον, τῆς Παναγνου κατηδάφισας.

Ὑπὸ τῆς θείας ῥοπῆς, περιθαλπόμενος ὅσιε, τὴν γύμνωσιν τῆς σαρκός, ὡς ἄσαρκος ἔφερες, καὶ σαυτῷ ἐξύφανας, τῆς ἀθανασίας, πολυτίμητον ἱμάτιον.

Θεοτοκίον

Ἄθῳ ἐπισκοπῇ, τῆς Θεοτόκου σκεπόμενος, ἀπήμαντος τὰς βουλάς, διέδης τοῦ δράκοντος, καὶ τὸν Ἄθω ἤρδευσας, Πέτρε θεοφόρε, τοῖς ἱδρῶσι τῶν ἀγώνων σου.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον

Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὡς ἐν σαρκὶ ἰσάγγελοι, καὶ τῶν Ἀγγέλων σύναυλοι, ἐν ταῖς ἐρήμοις ὁσίως ἐφάνατε, ὑπερφυέσι σκάμμασιν, Ὀνούφριε θεοφόρε, καὶ Πέτρε τῶν ἐν Ἄθῳ τὸ ἐγκαλλώπισμα, δυὰς ἡ οὐρανόφρων προσᾴδοντες. Ἀλληλούϊα.

Ὁ Οἶκος

Ὢ ἀγάπη, τὸ φῶς τὸ ὑπέρλαμπρον! ὢ πασῶν ἀρετῶν τὸ κεφάλαιον! ἡ ἀεὶ τὰ οὐράνια τάγματα εὐφροσύνης πληροῦσα καὶ χάριτος, ἡ ἐνοικήσασα τοῖς ἁγίοις Πατριάρχαις, Προφήταις καὶ Ἀποστόλοις, ὧν ταῖς εὐχαῖς καὶ ἡμῖν ἐνοίκησον, ἵνα σὺν αὐτοῖς μελῳδῶμεν τῷ Θεῷ. Ἀλληλούϊα.

Συναξάριον

Τῇ ΙΒ΄. τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ὀνουφρίου τοῦ Αἰγυπτίου καὶ Πέτρου τοῦ ἐν τῷ Ἄθῳ.

Στίχοι

Καὶ τὴν ἑνὸς χιτῶνος ἐντολὴν πάτερ,
ὑπερβέβηκας, γυμνητεύσας εἰς τέλος.
Καὶ σοὶ προτείνει δεξιὰν Χριστὸς Πέτρε,
σωθέντι γυμνῷ ἐκ θαλάσσης τοῦ βίου.

www.tezaurliturgic.ro

Δωδεκάτῃ γε Ὀνούφριον Πέτρον τε ἐκ βίου ἦραν.

Καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.

Ταῖς αὐτῶν καὶ πάντων σου τῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ'. Ὁ εἱρμός**

» Ἀντίθεον πρόσταγμα, παρανομοῦν-
» τος τυράννου, μετάρσιον τὴν
» φλόγα ἀνεῤῥίπισε. Χριστὸς δὲ ἐφή-
» πλωσε θεοσεβέσι Παισί, δρόσον τὴν
» τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος καὶ
» ὑπερένδοξος. (δὶς)

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία βεβαία, ἀντίληψις καὶ τεῖχος ἀπροσμάχητον, ὑπάρχουσα Δέσποινα, τοὺς πολεμοῦντάς με δαίμονας πολέμησον ἀεί, ἐπιζητοῦντας τοῦ θανατῶσαί με.

Θεὸν σωματώσασα παρθενικῶν σου αἱμάτων, ἐθέωσας Παρθένε τὸ ἀνθρώπινον, διό με τοῖς πάθεσι κατὰ ῥυπούμενον, καὶ καταφθειρόμενον ἐχθροῦ ταῖς μεθοδείαις ῥῦσαι πρεσβείαις σου.

Ἡ κάμινος γέννησιν, προδιετύπου τὴν σὴν Παναμώμητε, τοὺς Παῖδας γὰρ οὐκ ἔφλεξεν, ὡς οὐδὲ τὴν μήτραν σου τὸ πῦρ τὸ ἄστεκτον, ὅθεν δυσωποῦμέν σε, πυρὸς τοῦ αἰωνίου ῥῦσαι τοὺς δούλους σου.

Ἡλίου τὸ σκήνωμα, τοῦ ἀνεσπέρου ἡ μόνη ὑπέρλαμπρος, καὶ φωτοτόκος Δέσποινα, τῇ αἴγλῃ τῆς δόξης σου, τῷ φωσφόρῳ σου Ἁγνή, τὸν νοῦν μου καταύγασον, καὶ τὴν καρδίαν πλῆσον θείας ἐλλάμψεως.

**ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου Εἰκόνος χρυσῆς.**

Νεώσας ψυχήν, τῷ ἀρότρῳ προσευχῆς πάτερ Ὀνούφριε, καὶ κατασπείρας τὴν ἐγκράτειαν, στάχυν ἁγνείας ἐθέρισας, ᾗ συνδιαιτώμενος μάκαρ, σὺν Ἀγγέλοις ἐκραύγαζες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐμάκρυνας μέν, σεαυτὸν ἐκ κοσμικῆς διαίτης ὅσιε, ἐν ἐρημίαις δ' αὐλιζόμενος, ἄρτον οὐράνιον εἴληφας, εἶχες γὰρ Χριστὸν σιτοδότην, ᾧ γεγηθὼς ἀνεκραύγαζες, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἑώρα τῶν σῶν, ἐν ἐκπλήξει ὑπὲρ φύσιν παλαισμάτων, τοὺς πόνους πάτερ Ὀνούφριε, δοξαζομένους τῷ Πνεύματι, ὁ κλεινὸς Παφνούτιος ἤδη, διὸ καὶ χαίρων ἐκραύγαζεν, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

**Θεοτοκίον**

Ξενίζει βροτούς, καὶ ἀΰλους Πάναγνε τῆς σῆς λοχείας, θεῖον μυστήριον, μόνη γὰρ ἄνευ σπορᾶς Λόγον τέτοκας, σάρκα γεγονότα δι' οἶκτον, ᾧ σωθέντες κραυγάζομεν, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

**ΑΛΛΟΣ. Τοῦ ὁσίου Πέτρου Παῖδες Ἑβραίων.**

Θέρμῃ πυρούμενος ἀΰλῳ, ἀγαπήσεως ἁγίας ζωηφόρου, τοῦ κρυμοῦ τὴν φοράν, καὶ καῦσιν τοῦ ἡλίου, ὑπέμεινας ἀκλόνητος, πάτερ Πέτρε θεοφόρε.

Ὥσπερ θεράπων σου οἰκεῖος, καὶ Ἀρχάγγελος δυνάμεως Κυρίου, ὁ ἐχθρὸς τῶν καλῶν, ἐπέστη σοι πλανῆσαι, τὸν ἀπλανῆ ἀστέρα σε, ἀλλ' ᾐσχύνθη ταῖς εὐχαῖς σου.

Πῶς σου τὸν βίον ἐξυμνήσω, καὶ τὰ τρόπαια τὰ κατὰ τῶν δαιμόνων; ὥσπερ ἄϋλος γάρ, ἐν ὕλῃ ἠγωνίσω, καὶ τοῦ ἐχθροῦ κατέβαλες, τὰς μυρίας πανουργίας.

**Θεοτοκίον**

Ῥώμην παρέχουσα καὶ σθένος, ἐν ὀνείρῳ σοι ἐπέστη ἡ Παρθένος· καὶ

www.tezaurliturgic.ro



πλησθεὶς χαρμονῆς, ὅλος ἔνθους ἐβόας, εὐλογημένη Δέσποινα, σὺ ὑπάρχεις εἰς αἰῶνας.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὁ εἱρμός

»Κάμινός ποτε πυρὸς ἐν Βαβυλῶνι, »τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ »προστάγματι, τοὺς Χαλδαίους κατα»φλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα »ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα »τὸν Κύριον. (δίς)

Ζήλου τὰ καλὰ κακῶν μακρυνομένη, δι᾽ ἐμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, ὑπὲρ σοῦ τὴν Θεομήτορα, καὶ πάντων ἀκαταίσχυντον, ἔχουσα προστασίαν, ὡς συμπαθῆ καὶ φιλάγαθον.

Ἔλυσας δεσμοῦ τῆς πάλαι καταδίκης, θεοκυῆτορ τὸ ἀνθρώπινον, διὸ ἱκετεύω σε, διαλῦσαι πάντα σύνδεσμον, κακίας τῆς καρδίας μου, Ἄχραντε συνδεσμοῦσα, θείᾳ στοργῇ με τοῦ Κτίσαντος.

Δόξης τοῦ Πατρὸς ἀπαύγασμα τεκοῦσα, τὴν ἀδοξίᾳ σκυθρωπάζουσαν, πταισμάττων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καὶ δόξης με ἀνάδειξον, μέτοχον ἀϊδίου, εὐλογημένη Πανάμωμε.

Δύναμιν Ἁγνὴ κατὰ παθῶν ποικίλων, ἡ τοῦ Πατρὸς σαρκὶ κυήσασα, τὴν σύνθρονον δύναμιν, παράσχου μοι καὶ ἴασαι, ψυχῆς μου τὴν ἀσθένειαν, σὺ γὰρ ἁμαρτανόντων, ὤφθης θερμὸν ἱλαστήριον.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου

Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Αἴγλη τοῦ Πνεύματος σαφῶς, πυρσευόμενος τὸν νοῦν φωστῆρος δίκην, θεωριῶν ἀκτῖνας, καὶ ἰαμάτων αὐγάς, ἀστράπτεις παμμάκαρ Ὀνούφριε, τοῖς ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Δυνάμει θείᾳ εὐσθενής, γνωριζόμενος ἀεὶ δαιμόνων θράσος, καθελὼν τῶν ἀλόγων, ζώων τὴν φύσιν σαφῶς, κραυγάζων ὑπέταξας ὅσιε· σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Δόξαν προσφέρων τῷ Θεῷ, τῇ κοιμήσει σου Παφνούτιος ὁ θεῖος, εὐσχημόνως κηδεύει, τὸ σῶμά σου τὸ σεπτόν, καὶ σάλπιγξ ἐδείχθη τοῖς πέρασι, τῶν ὑπερφυῶν σου, Ὀνούφριε ἀγώνων.

Θεοτοκίον

Ὥσπερ νεφέλη φωτεινή, τὸν ὑπέρθεον Χριστὸν ἥλιον φέρεις, ἐν ἀγκάλαις σου Μῆτερ, δι᾽ οὗ τὸν ζόφον παθῶν, ψυχῆς μου λαμπρύνασα αὔγασον, τῷ τῆς ἀπαθείας, φωτὶ Θεογεννῆτορ.

ΑΛΛΟΣ τοῦ ὁσίου Πέτρου

Οἱ θεοῤῥήμονες Παῖδες

Ὡς ἰσαγγέλῳ σοι Πέτρε Ἄγγελος θεῖος, ἄρτον Ἀγγέλων κομίζει, δι᾽ οὗ τρεφόμενος ἔψαλλες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ ἐπουράνιον μάννα σοι ἐπομβρίζει, ὁ τῆς ζωῆς ἡμῶν ἄρτος τοὺς σοὺς ἀγῶνας δεξάμενος, εὐλογεῖτε βοῶντι τὰ ἔργα τὸν Κύριον.

Ἀγαλλιᾶται ὁ Ἄθως τὸ πῖον Ὄρος, καὶ ἐμφανὲς τῆς Παρθένου, τοῖς ἐναρέτοις σου σκάμμασι, Πέτρε καὶ πόθῳ γεραίρει τὴν ἔνθεον μνήμην σου.

Θεοτοκίον

Ῥάβδῳ τῆς σῆς προμηθείας ὁ θεῖος Πέτρος, ἐπερειδόμενος Κόρη, ἀσκητικῶς διεπέρασε, τῆς ἀρετῆς τὴν πορείαν δοξάζων τὴν δόξαν σου.

Καταβασία. Παῖδας εὐαγεῖς.

www.tezaurliturgic.ro


'Ωδὴ θ'. 'Ο εἱρμὸς

»Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς »καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρ»θένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα »φωτίσαι συναγαγεῖν, τὰ ἐσκορπι»σμένα, διὸ τὴν πανύμνητον, Θεο»τόκον μεγαλύνομεν. (δίς)

Γευσάμενος βρώσεως, μὴ προσηκούσης θάνατον, ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου πικρῶς ἐτρύγησε, ξύλῳ δὲ παγεὶς ὁ Υἱός σου τὸν γλυκασμὸν, τῆς ἀθανασίας ἐπήγασεν Ἄχραντε, διὰ τοῦτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τὸν Βασιλέα Κύριον, ὑπὲρ λόγον τεκοῦσα τὸν διαλύσαντα, ᾅδου τὰ βασίλεια Κόρη ὃν ἐκτενῶς, δυσώπει τῆς ἄνω, Βασιλείας ἅπαντας, ἀξιῶσαι τοὺς ὑμνοῦντάς σε.

Ἀγάθυνον Δέσποινα, τὴν ταπεινὴν καρδίαν μου, ἡδονῶν κακωθεῖσαν ταῖς ἐπικλύσεσιν, ὡς τὸν Ἀγαθὸν τετοκυῖα, καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη, καὶ πρὸς μετανοίας με, ἀγαθὰς πύλας εἰσάγαγε.

Ἀφθόρως κυήσασα, τὸν ἐκ φθορᾶς ῥυσάμενον, διὰ πάθους τιμίου, γένος τὸ βρότειον, ἐκ φθοροποιῶν παθημάτων καὶ χαμερπῶν, ἀεὶ νοημάτων ἐλεύθερον τήρει με, Θεοτόκε τὸν ἱκέτην σου.

ΕΤΕΡΟΣ τοῦ ὁσίου Ὀνουφρίου
Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον

Πυρὶ Θεοῦ τῆς ἀγάπης, ἡδονὰς καταφλέξας, σαρκὸς καὶ ὡραΐσας τὴν ψυχήν, οἷα ἀστὴρ πάτερ ἔλαμψας, ἐν ἐρήμῳ φωτίζων, τὴν πᾶσαν οἰκουμένην ἐμφανῶς, τοῦ σοῦ βίου ἀκτῖσι, καὶ φέγγει τῶν ἰάσεων.

Ὅλος Θεῷ κεκραμένος, δι' ἀγάπης τρισμάκαρ, μετέσχες βασιλείας τῆς αὐτοῦ, καὶ τῆς τρυφῆς τὴν ἀπόλαυσιν, καὶ ζωῆς τὸν χειμάῤῥουν, καὶ τῶν ἑορταζόντων τὸν χορόν, καὶ χαρὰν τὴν ἀγήρω, ἀπείληφας Ὀνούφριε.

Θεὸν εὐΐλατον ἔχων, σῆς ἀσκήσεως πόνοις, ἱδρῶσί τε καμάτων νῦν τῶν σῶν, τοῦτον ἡμῖν ἐξευμένισαι, τοῖς ὑμνοῦσί σε πᾶσι, λυτρούμενος σοφὲ ἐκ πειρασμῶν, καὶ παθῶν καὶ ὀδύνης, Ὀνούφριε ἀοίδιμε.

Θεοτοκίον

Ὡς προστασίαν σε μόνην, καὶ ἰσχὺν Θεοτόκε, καὶ τεῖχος καὶ προπύργιον στεῤῥόν, ἔχων τροποῦμαι ἐχθρῶν προσβολάς, καὶ παθῶν ἐπικλύσεις, ἐν σοὶ γὰρ τὰς ἐλπίδας μου ἀεί, ἀνεθέμην τῇ μόνῃ, φθορᾶς ἀπαλλασούσῃ με.

ΑΛΛΟΣ τοῦ ὁσίου Πέτρου
Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς, καὶ πολλῆς ἐπληρώθη ἐκπλήξεως, ὁ θηρευτής, πάτερ ὥσπερ θήραμα νοητόν, καὶ θησαυρὸν ἄσυλητον, ἔνδον τῆς ἐρήμου σε ἐφευρών, τὸν πάλαι κεκρυμμένον, καὶ ᾔνεσεν ἐν θάμβει, Πέτρε Χριστὸν τὸν σὲ δοξάσαντα.

Ἡ θήκη τῶν λειψάνων σου ἡ σεπτή, ἰατρεῖον ἐδείχθη ἀδάπανον, νόσων δεινῶν, παύουσα τὴν ῥύμην τὴν χαλεπήν, καὶ πνεύματα ἀκάθαρτα, πάτερ ἀπελαύνουσα ἐμφανῶς, ἡ χάρις γὰρ ἡ θεία, ἐν ταύτῃ ἐνοικοῦσα, ξένα ἐργάζεται θαυμάσια.

Νεκρώσας μου τὸ φρόνημα τῆς σαρκός, τῆς ζωῆς ἐνεργείᾳ τῆς κρείττονος, Πέτρε σοφέ, ζώωσον ψυχήν μου τὴν ταπεινήν, τὴν νεκρωθεῖσαν ὅσιε, ταῖς ἐπὶ τὸ χεῖρον ἐπιῤῥοπαῖς, δεξάμενος ὑψόθεν, τὸν ὕμνον θεοφόρε, ὥσπερ λεπτὰ δύο θεόδεκτα.

Θεοτοκίον

Ναμάτων ψυχοτρόφων ζωοποιῶν, γλυκερῶν καὶ ποτίμων πολύῤ-

www.tezaurliturgic.ro

ῥυτος, οὖσα πηγή, Κεχαριτωμένη Μῆτερ Ἁγνή, ὕδωρ ζωῆς ἀθάνατον, βλῦσον τῇ διψώσῃ μου νῦν ψυχῇ, καὶ κάθαρόν με Κόρη, δακρύων ἐπομβρίαις, διὰ τελείας μεταγνώσεως.

**Καταβασία.** Ἅπας γηγενής.

### Ἐξαποστειλάρια

**Τῶν Μαθητῶν ὁρώντων σε.**

Ὁ ὑψηλός σου βίος τοῖς μονοτρόποις, κανὼν θεοσεβείας τελεοτάτης, σὺ γὰρ λογισμῷ ἐνζυμωμένος, ἐν ζυγῷ διακρίσεως, ποιεῖς Ὀνούφριε τούτους, εὐπαρακλήτως ὁδεύειν.

**Ἕτερον ὅμοιον.**

Ἡσυχαστῶν, τὸν πρώτιστον τῶν ἐν Ἄθῳ, τὸν ὑπερμέτρους ἀγῶνας τετελεκότα, Πέτρον μακαρίσωμεν τὸν ὅσιον, ὡς πέτρα γὰρ ἀτίνακτος, τὰς προσβολὰς τῶν δαιμόνων, κατέρραξε μέχρι τέλους.

**Θεοτοκίον ὅμοιον.**

Ὡς κηδεμών, καὶ ἔφορος καὶ προστάτις, καὶ ἰατρὸς τροφεύς τε καὶ θεία σκέπη, τοῦ ἁγίου Ὄρους σου Θεόνυμφε, φρούρει ἀεὶ καὶ δίεπε, πρὸς σωτηρίας εἰσόδους, τοὺς ἐν αὐτῷ κατοικοῦντας.

### ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑπόμενα στιχηρὰ προσόμοια.

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος**

Πάτερ θεόφρον Ὀνούφριε, τοῦ Ἡλιοὺ μιμητής, χρηματίσας ἐν πνεύματι, μετανάστης γέγονας, τῆς τοῦ κόσμου συγχύσεως, σαρκὸς ὀρέξεις ἀπαρνησάμενος, καὶ ἐν ἐρήμῳ συναυλιζόμενος, χαίρων μακάριε, τὴν ψυχὴν ἐπτέρωσας, πρὸς οὐρανόν, ἔνθα τὸ πολίτευμα, σαφῶς ἐκέκτησο.

Ὅσιε πάτερ Ὀνούφριε, ἱερωτέραν ψυχήν, θεοφρόνως κτησάμενος, πειρασμοὺς ὑπήνεγκας, θείᾳ πίστει ῥωννύμενος, καὶ δι᾽ ἀγάπης, Θεῷ ἑνούμενος, τῇ τῶν πραέων γῇ κατεσκήνωσας, ὡραϊζόμενος, ἀρετῶν λαμπρότησιν ὅθεν τὴν σήν, μνήμην εὐφραινόμενοι, πανηγυρίζομεν.

Πάτερ παμμάκαρ Ὀνούφριε, τὰς ὑπὲρ νοῦν δωρεάς, οὐρανόθεν δεξάμενος, εὐσεβῶς μετέδωκας, τοῖς ποθοῦσι τρισόλβιε, τῆς σῆς ἀσκήσεως τὰ γνωρίσματα, εὐλογημένης φωνῆς ἀκήκοας, ἔνδον γενόμενος. τοῦ νυμφῶνος ἔνθα νῦν περιπολεῖς, θρόνῳ τοῦ Παντάνακτος, ἀξιοθαύμαστε.

Πέτρε τῶν ἐν Ἄθῳ καύχημα, ἀγωνισμάτων τῶν σῶν, τὰ λαμπρὰ κατορθώματα. καὶ τῆς πολιτείας σου, τὰ ἐξαίρετα ἔπαθλα, τὰς διανοίας ἡμῶν ἐξέστησαν, καὶ τῶν δαιμόνων, φάλαγγας ἔτρεψαν. Ὢ τῶν καμάτων σου! πῶς καθάπερ ἄσαρκος τὴν σὴν ζωήν, γυμνός τε καὶ ἄστεγος, ἤνυσας ὅσιε.

Θείᾳ κελεύσει πειθόμενος, τῆς Θεοτόκου Ἁγνῆς, ἐν τῷ Ἄθῳ προσέδραμες, βίον ὑπερκόσμιον, ἀνενδότως ἑλόμενος, ἔνθα δαιμόνων λύσας τὰ φάσματα, ἄρτον Ἀγγέλων ἐδέξω ὅσιε. Ὢ ἧς ἠξίωσαι, ἀριζήλου χάριτος, Πέτρε σοφέ! ὄντως θεοβράβευτον, τὸ σὸν ἀξίωμα!

Ὥσπερ θησαυρὸν κρυπτόμενον, ὁ εὐσεβὴς θηρευτής, σὲ θηρεύων ἐφεύρηκεν, ἐν ἐρήμῳ ὅσιε, ἐκπλαγεὶς τῷ θεάματι, ἁγιασθεὶς δὲ ταῖς σαῖς προσψαύσεσιν, ἁγιασμοῦ σε δῶρον πολύτιμον, πᾶσιν ἐγνώρισε, καὶ καθυπουργήσας σοι κόσμῳ παντί, ἐμφανὲς πεποίηκε, τὸ θεῖον σκῆνός σου.

**Δόξα. Ἦχος β΄.**

Ἐζητήσατε θεοφόροι, τοῦ θεωρεῖν τοῦ Κυρίου τὴν τερπνότητα, καὶ μόνοι αὐτῷ μόνῳ, προσομιλεῖν ἐπεποθήσατε. Ὅθεν κόσμον κατελίπετε, φυγαδεύοντες καὶ διαιτώμενοι, ἐν ἐ-

www.tezaurliturgic.ro

«Τοῦ Οὐρανοφάντορος» ἦχ. β'.



ρήμοις καὶ ὄρεσι, καὶ τὸν Χριστὸν ἐνδεδυμένοι· χιτῶνος οὐκ ἐφροντίζετε, τῆς ἀφθαρσίας χιτῶνα ὑμῖν αὐτοῖς ἐμπορευόμενοι, μεθ' οὗ εἰσήλθετε εἰς τὸν οὐράνιον νυμφῶνα, αἰωνίως ἀγαλλόμενοι, Ὀνούφριε καὶ Πέτρε, καὶ πρεσβεύοντες τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον**

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικά, οἱ μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων ἡ γ'. καὶ στ'. ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει εἰς ὁσίους.

Μεγαλυνάρια

Δεῦτε τῆς ἐρήμου τοὺς πολιστάς, καὶ τῆς ἰσαγγέλου, θιασώτας διαγωγῆς, Ὀνούφριον ἅμα, καὶ Πέτρον τὸν ἐν Ἄθῳ, ὡς ἰσοτίμους δόξῃ, ὕμνοις τιμήσωμεν.

Ἔρημον ἑλόμενοι κατοικεῖν, ἐν σκληραγωγίᾳ, καὶ γυμνότητι τῆς σαρκός, ἄϋλος ἐν ὕλῃ, Ὀνούφριε ὡράθης, καὶ ἄρτῳ οὐρανίῳ, ἐτράφης ὅσιε.

Τῇ τῆς Θεοτόκου Πέτρε ὀμφῇ, ᾤκησας ἐν Ἄθῳ, καὶ δαιμόνων τὰς μηχανάς, ᾔσχυνας εἰς τέλος, τῇ καρτερᾷ ἀσκήσει, καὶ ἄρτον τῶν Ἀγγέλων, ἐδέξω ὅσιε.

# ΟΙ ΚΑΤΑ ΠΛΑΤΟΣ ΕΛΛΗΝΙΚΟΙ ΒΙΟΙ

## Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν ΟΝΟΥΦΡΙΟΥ τοῦ ΑΙΓΥΠΤΙΟΥ καὶ ΠΕΤΡΟΥ τοῦ ΑΘΩΝΙΤΟΥ, ἀντιγραφέντες ἐκ χειρογράφων τῆς ἱερᾶς μονῆς Μεγίστης Λαύρας.

## ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

**Τοῦ ὁσίου πατρὸς ἡμῶν**

## ΟΝΟΥΦΡΙΟΥ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ

**Ἱστορηθεὶς παρὰ Παφνουτίου μοναχοῦ τοῦ ἀναχωρητοῦ.**

(Λαυριωτικ. χειρόγραφ κῶδιξ Ι 117 Φύλ. 300 β. — 315 α.)

**Εὐλόγησον πάτερ**

1. Ἐν μιᾷ τῶν ἡμερῶν σπουδὴν ἐποιησάμην εἰς τὴν ἐσωτέραν γενέσθαι ἔρημον, καὶ θεάσασθαι εἰ ἔστιν ἄλλος μοναχὸς ἔσωθέν μου δουλεύων τῷ Κυρίῳ· καὶ ἀναστάς, ἐπορεύθην ἐπὶ τέσσαρας ἡμέρας εἰς τὴν ἐνδοτέραν ἔρημον, μήτε ἄρτου μήτε ὕδατος μεταλαβών· τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἐπιστὰς σπηλαίῳ σεμνῷ, ἔμεινα πρὸς τὴν θυρίδα κρούων ἐπὶ ὥραν μίαν, ἐπ' ἐλπίδι τοῦ κατὰ τὴν συνήθειαν τῶν ἀδελφῶν, μοναχόν τινα ἐξελθεῖν καὶ ἀσπάσασθαί με αὐτόν. Κρούσαντος δέ μου καὶ μηδενὸς ἀποκρινομένου, ἀνεῴξας τὴν θύραν, εἰσῆλθον, τὸ εὐλόγησον, κράζων. Καὶ θεασάμενός τινα καθεζόμενον, ἡψάμην τοῦ ὤμου αὐτοῦ καὶ ἐγένετο ὡσεὶ χνοῦς· καὶ τὸ λοιπὸν δὲ τοῦ σώματος ψηλαφήσας, εὗρον τοῦτον ἤδη τεθνηκότα ἐκ πολλοῦ τοῦ χρόνου. Ἐθεασάμην δὲ καὶ κολόβιον καὶ αὐτοῦ ἁψάμενος, γέγονεν ὡσεὶ κονιορτὸς ἐν